εἰς ἦλιν κομισθέντα· τίμαιος δὲ καὶ ἀριστόξενος, ἐν κρήτῃ καταβιώσαντα· καὶ τάφον ἀριστόξενος αὐτοῦ δείκνυσθαι φησὶν ὑπὸ κρητῶν τῆς περγαμίας περὶ τὴν ξενικὴν ὁδόν· υἱὸν δ' ἀπολιπεῖν ἀντίωρον· οὗ τελευτήσαντος ἀτέκνου, τὸ γένος ἐξέλιπεν· οἱ δ' ἑταῖροι καὶ οἰκεῖοι, διαδοχήν τινα καὶ σύνοδον ἐποίησαν, ἐπὶ πολλοῖς χρόνοις διαμείνασαν· καὶ τὰς ἡμέρας ἐν αἷς συνήρχοντο, λυκουργίδας προσηγόρευσαν· ἀριστοκράτης δὲ ὁ ἱππάρχου φησὶ τοὺς ξένους οἷς τοῦ λυκούργου τελευτήσαντος ἐν κρήτῃ, καύσαντας τὸ σῶμα, διασπεῖραι τὴν τέφραν εἰς τὴν θάλατταν· αὐτοῦ δεηθέντος καὶ φυλαξαμένου· μή ποτε ἄρα τῶν λειψάνων εἰς λακεδαίμονα κομισθέντων· ὡς ἐπανήκοντος αὐτοῦ καὶ τῶν ὅρκων λελυμένων, μεταβάλωσι τὴν πολιτείαν· ταῦτ' μὲν οὖν περὶ λυκούργου:

πλουτάρχου·

Ἔστι δὲ καὶ περὶ τῶν νομᾶ τοῦ βασιλέως χρόνων· καθ' οὓς γέγονεν ἐκνικῶσα διαφορά· καίπερ ἐξ ἀρχῆς εἰς τοῦτον κατάγεσθαι τῶν στεμμάτων ἀκριβῶς δοκούντων· ἀλλὰ κλώδιός τις ἐν ἐλέγχῳ χρόνων, οὕτω γάρ πως ἐπιγέγραπται τὸ βιβλίον, ἰσχυρίζεται τὰς μὲν ἀρχαίας ἐκείνας ἀναγραφάς, ἐν τοῖς κελτικοῖς πάθεσι τῆς πόλεως ἠφανίσθαι, τὰς δὲ νῦν φαινομένας, οὐκ ἀληθῶς συγκεῖσθαι· δι' ἀνδρῶν χαριζομένων τισὶν εἰς τὰ πρῶτα γένη καὶ τοὺς ἐπιφανεστάτους οἴκους ἐξ οὐ προσηκόντων εἰσβιαζομένοις· λεγομένου τοίνυν ὡς ὁ νομᾶς γένοιτο πυθαγόρου συνήθης, οἱ μὲν ὅλως ἀξιοῦσι μηδὲν ἑλληνικῆς παιδείας νομᾶν μετεῖναι· καθάπερ ἢ φύσει δυνατὸν καὶ αὐτάρκη γενέσθαι πρὸς ἀρετήν, ἢ βελτίονι πυθαγόρου βαρβάρῳ τὴν τοῦ βασιλέως ἀποδοῦναι παιδείαν· οἱ δέ, πυθαγόραν μὲν ὀψὲ γενέσθαι·

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_286/0053